κ(αὶ) φύλλοις ἔβαλλον περιερχομένους ὡς κ(αὶ) νῦν τοῖς γ' ἐπιφανῶς ἀγωνισαμένοις ἐπιβάλλουσι πετάσους
κ(αὶ) ζώνας κ(αὶ) χιτῶνας. Ἐκ τούτου σύνηθες ἐγένετο κύκλῳ περιπορευομένους τοὺς ἀθλητὰς ἐπαγείρειν κ(αὶ) λαμβά-
νειν τὰ διδόμενα. Ὅθεν Σιμωνίδης ἄσπλαν φησὶν οὕτω· τίς δὴ τῶν νῦν τοσάδε πετάλοισι μύρτων ἢ στεφάνοισι ῥόδων
ἀνεδήσατο νίκας ἐν ἀγῶνι περικτιόνων. Ἔνιοι δὲ τοῦτο τὸ ἔθος ἀπὸ Θησέως τὴν ἀρχὴν λαβεῖν· ἐκεῖνον γὰρ ἐκ
Κρήτης κομισθέντα μετὰ τὸ ἀνελεῖν τὸν Μινώταυρον οἱ ἀπὸ τῆς χώρας ἄνθεσι κ(αὶ) φύλλοις ἔβαλλον, κ(αὶ) τοῖς
παροῦσι καρποῖς ἐτίμων. Περιαγὲς, ἐπικαμπές. Περιαγκώνισμα ——— Περιαλγὴς ὁ πε-
ριαλγῆς τοῦ τόνου κ(αὶ) τοῦ δράματος τοῦ Πλατωνικοῦ. Περιάγνυται, περικλᾶται· οἱονεὶ περιήχεται. Περιαγοραῖος,
λῆρος. Περιαθρεῖν, περισκοπεῖν. Περίαλλος, τὸ ἱερόν. Περιαμησάμενος, θερίσας. Περί, ἀμφί, κύκλῳ. Περιάσι-
δος, ἐγκύκλιος ᾠδή. Περιαυθαδίζεται, ἐν ὑπερηφανίᾳ ἀναφέρεται. ἢ μέγα φρονεῖ περὶ ἑαυτόν. Περιαύτως, οἷον
ἐγγὺς κ(αὶ) παρὰ μικρόν. Περιαυτίζεται, περὶ ἑαυτοῦ μέγα φρονεῖ. ἢ ἐν αὐτῇ τῇ λέξει ἐνδιατρίβει. Περιαυτολογεῖν,
περὶ ἑαυτοῦ λέγειν, τουτέστι μεθ' ὑπερηφανίας. Περιβαλλόμενος, προσλαμβανόμενος. Περίβαλε, οἷον περίλαβε. κ(αὶ)
μετὰ τὸ ἐναντίον λέγουσι· σπανίως δέ. Περιβάλλων, περιλαμβάνων. Περίβαρα, ὑποδήματα. Περιβαρίδες, ὑποδήματα γυ-
ναικῶν. Περίβλεπτος, ἔξοχος, μέγιστος. Περιγηθής, περιχαρής. Περιγράψαι, οἷον ἀποκτεῖναι. ἐπεὶ οἱ ἀποθανόντες
περιγράφονται κ(αὶ) περιαιροῦνται τῶν ἀρχείων. Περιγίνεται, περιποιεῖ. Ἀριστοφάνης. Περιγυρίδα, περιφέρειαν. Περι-
δεδάπτεσθαι, καταδεδέσθαι. Περιδίδοσθαι, τὸ συντίθεσθαι. κ(αὶ) Ὅμηρος· Εἰ δ' ἄγε νῦν τρίποδος περιδώμεθον. Περιδεής,
περίφοβος. Περιδεῖπνον, ἡ ἐπὶ τοῖς ἀποθανοῦσιν ἑστίασις γινομένη. Περιδέξιος, ὁ κ(αὶ) τῇ ἀριστερᾷ ἐργαζόμενος. Παρὰ
δὲ τῷ θεολόγῳ λέγοντι κ(αὶ) ὅπως ἀποφεύξεται τὸν περιδέξιον. Περιδέξιόν ἐστι πᾶν διλήμματον. ἑκατέρωθεν γὰρ βού-
λεται συνάγειν. Περιδέραια, περιτραχήλια κόσμια. Περιδήριον, περιστήν. Περιδράπτεσθαι, περιέχεσθαι. Περιδινοῦν-
ται, περιστρέφονται. Περίδρομος, πάντη περιέχεσθαι δυνάμενος. Περιδύεται, κρύπτεται, ὑποδύεται. Περιδοῦ, σύνθες· λέγου-
σι δὲ περὶ συνθήκης. Οὕτως Δίφιλος. Περίειπον, περιέτεινον. ἦσαν φυλακτικῶς κ(αὶ) θεραπευτικῶς. Περιειδόμεθα, συνθέμεθα.
Περιεῖργον, ὑπεῖργον. Περιειλημένος, περιειλησάμενος. Περιεκόκκασα, περιέτιλα κ(αὶ) κατέσχισάμην. Ἀριστοφάνης.
Περιεκτικόν, περιέχον. Περιέπειν, φυλάσσειν ἢ ἐνεργεῖν. Περιεπτισμένον, λελεπισμένον. Περιεξεσμένον, περικεκα-
θαρμένον. Περιέρχων, κωπηλατῶν. Περιεργάζεσθαι, ἀντὶ τοῦ πολυπραγμονεῖν. Περιέσπαττο, περιεσπᾶτο. Περιέσεσθαι,
περιγενήσεσθαι. Περίεσα, κατεαγά. Περιεσκεμμένος, ἠκριβωμένος. ΝΒ Περιεσόμεθα, περιγενησόμεθα. Περιέστηκαν,
περιΐσταται. περιέστραπται. Περιέστησαν, περιεκύκλωσαν. Περιεστήξει, περιστήσεται. Περιέχεσθαι, ἀντέχεσθαι.
Περιεχόμενον, ἀντιποιούμενον. Περιήγγελλεν, ἐκέλευεν. Περιῆλθεν, ἐξηπάτησεν. Περιῆν, ἐνίκα. Περιεγίνετο, ὑπῆρχεν.
Περιήγητος, ὁ περιπόρφυρος χιτών. Περιηχήθη, περιεφιλονείκησεν. Περίθετος κεφαλή, ἡ περιθέτη. Ἀριστοφάνης
κεφαλὴ περίθετος ἦν ἐγὼ νήπιος φορῶ. Περιθοῖδαι, δῆμος τῆς Οἰνηΐδος φυλῆς. ἀπὸ Περίθου τοῦ Ἰξίονος. Νόμος δ'
ἦν Ἀθήνησι· ξένους εἰσδέχεσθαι τοὺς θυομένους τῶν Ἑλλήνων. Θεσσαλοὺς δ' ἐξαιρέτως ὑπεδέχοντο διὰ τὸν Πειρίθου κ(αὶ)
Θησέως φιλοξενίαν. τούτοις δ' κ(αὶ) χώραν ἔμειξαν, ἣν ἐκάλεσαν Περιθοΐδα. Ἔφορος ἱστορεῖ ἐν γ. Περιθρέξαι, περιδραμεῖν.
Περιθυιῶσθαι, περικαθάρσαι. Περιθυρεῖν, περὶ θύραν εἶναι. Περιϊόντα, περιερχόμενον. Περιϊππεύων, περιτρέχων. Περιϊστάμενος,
φεύγων. Περιΐσχεο, ἀντιλαβοῦ. *Περισκόπησον. Περικαθαίρων, ἀναλύων τὸν περὶ φρ(ένας) μεμηνυμένον ἢ τὸν γεγοητευμένον. * ἐν βιβλ. Σ περισκέψασθαι
Περικαλλές, λίαν καλόν. Περίκαλλος, Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. ὄνομα κύριον. Περικαταστρέφεσθαι, ἀντὶ τοῦ
περιτρέπεσθαι, κατὰ συνήθειαν λέγουσι. Περικέκοπται, κλῶπες. Περικεφαλαία, ἡ ἐκ τῶν τριχῶν. Περικήπια, περίξυλα.
Περικομψεύεται, περιθορυβεῖται. Περικόσμημα, τὸ περιβάσωμα. Κόσμημα γὰρ λέγεται τὸ [struck] σάρον· ἀφ' οὗ κ(αὶ) νεωκόρος, ὁ
τὸν ναὸν κορῶν κ(αὶ) σαρῶν. Περικνημίς, περιβόλαια περιφερῆ κ(αὶ) κυκλοειδῆ, ὁποῖα τοῖς ὑπὸ Ῥωμαίων καλουμέναις χλαί-
ναις. Μένανδρος Βοιωτίᾳ πεντεκτόνοις μὲν κ(αὶ) περικνημίσι προσφορᾷ. Περικνέως, ὁ δεύτερος ἴσος κ(αὶ) πάντα τὰ περιττά.
Περικνοῦ ... κνοῦ περιττῶς. Περικνίσιος, τοὺς περιττοὺς κ(αὶ) ἔξω τῶν ὑπηρεσιῶν. ὡς λιποτάκτους τοὺς λιποτάκτας.
Θουκυδίδης. Περίνοια, ὑπερηφανία, ἡ μηχανή, ἡ τέχνη. Περινομαί, περιχωρίαι. ἦσαν περίνομαι τῷ θεῷ. Μένανδρος.
Περινοστῶν ——— περιερχόμενος. Περίοδος, περιέλευσις, κύκλος. Περίοδος, Δημοσθένης Φιλιππικοῖς. Περιοδικὰ νοσήματα καλοῦσιν οἱ ἰατροὶ
τὰ τεταγμένως ἀπιόντα κ(αὶ) αὖθις ἐπιγινόμενα. οἷον τριταῖα, τεταρταῖα. κ(αὶ) τὰ ὅμοια. κ(αὶ) γὰρ ἐπὶ τούτων οἱ κάμνοντες δοκοῦσιν ἐν ταῖς τῶν ἀνέσεων
ἡμέραις μηδὲ νοσεῖν, ἀλλ' ὑγιεῖς εἶναι. Περιοίκιον, ὁ περὶ τὸν οἶκον ἢ ὁ περὶ τὸν ἐπαύλιον. Περιοίκιον Ἰσαῖος ἐν τῷ πρὸς Μενεκράτην. κ(αὶ) τὸ
περιοίκιον κ(αὶ) τὴν οἰκίαν. μήποτε ὃ ἡμεῖς λέγομεν ἐποίκιον. Περιοίσειν, τὸ περιέσεσθαι κ(αὶ) ἀνθέξειν. Θουκυδίδης δὲ σημαίνει κ(αὶ) τὸ ἀνοίσειν
ἐκ τῆς νόσου. Περιοικικός, ὁ φορητός. Περιὸν, ὑπερβάλλον. Περὶ ὄνου [struck] σκιᾶς, παροιμιακὸν περὶ τῶν ἐνδιατριβόντων τοῖς μηδενὸς ἀξίοις.
Περίοπτον, περίβλεπτον μέγα ὑψηλόν. Περιορᾶσθαι, καραδοκεῖν. ἀπὸ θεωρεῖν. περισκοπεῖσθαι, φροντίζειν. Θουκυδίδης. κ(αὶ) τοὺς Μεγαρέας,
περιορωμένους ποτέρων ἔσται ἡ νίκη. κ(αὶ) πάλιν. τὸν πόλεμον λέγει κ(αὶ) ὁ Βρασίδας τῆς μάχης περιορώμενος. Περιόργως, ἄγαν παρωργισμένως.
τος. Περιοργής, ὡς περιχαρής. ἐν δ' Θουκυδίδης εἴρηκεν ὀργιζόμενον. Περιορίσαι, περινοῆσαι. Περιοριαθῆναι, γνωσιαθῆναι. ἡ ὑπὸ ὅρον
γενέσθαι. Περιορισμός, ἐξορισμός. Περιοχή, περίπτυξις κ(αὶ) ὑπόθεσις, στίχος, συνοχή. Περιοῦργαι, παράδη, κατακεχωρῆσθαι. Περιορισμός,
πλῆθος, ἐπαρξις φυσική. Περιπαθῶς, σωματικῶς, ... Περιπεῖραι, περικεντεῖν. Περιπέτεια, προσπέτεια, [struck] ἢ συμπτω-
μα. ἢ σύμβασις. Περιπετῆ γενέσθαι, περιπεπτωκέναι. Πλήρη, περίπλεον. πλῆθος. Περὶ πλήθουσαν ἀγοράν, περὶ ὥραν τετάρτην ἢ πέμπτην
κ(αὶ) ἕκτην. Τότε γὰρ μάλιστα πληθύνει ἡ ἀγορά. Περὶ πόδα, οἷον ἁρμόττον σφόδρα ὡς τὰ ὑποδήματα τοῖς ποσί. Πλάτων. ὡς ἐστι μοι
τὸ σχῆμα τοῦτο περὶ πόδα. κ(αὶ) ἐν σκευαῖς κ(αὶ) τοῖς τρόποις ἁρμόττον ὂν περὶ πόδα. Περιποιήσει, κτήσεται. Περιποίησιν, κτῆσιν.
Περίπολος, οἱ ἔφηβοι περιπολοῦντες τὴν χώραν κ(αὶ) φύλακες ἐγένοντο προγυμναζόμενοι εἰς τὰ πολεμικά. Περὶ πολλοῦ ποιοῦ-
μαι, θεράπευε. Περίπολος, Ἀριστοτέλης ἐν τῇ τῶν Ἀθηναίων πολιτείᾳ περὶ τῶν ἐφήβων λέγων οὕτω φησί. τὸν δεύτερον ἐνιαυτὸν
ἐκκλησίας ἐν τῷ θεάτρῳ γενομένης λαβόντες ἀσπίδα κ(αὶ) δόρυ παρὰ τοῦ δήμου περιπολοῦσι τὴν χώραν κ(αὶ) διατρίβουσιν ἐν τοῖς φυ-
λακτηρίοις. Παρατηρητέον δέ, ὅτι ὁ μὲν Ἀριστοτέλης ἕνα φησὶν ἐνιαυτὸν ἐν τοῖς περιπόλοις γίνεσθαι τοὺς ἐφήβους, ὁ δὲ Αἰσχίνης δύο. Περιπο-
θῶν, περιτρέχων. Περιπόρφυρα, ἀποστηνθηρισμοί. κ(αὶ) Περίπτερον παντοχόθεν ἔξοχον. Περιπτώσεις, συμφοράς. Περίπυρον, ἐξάκεστον. διάβο-
ητον. Περιρρηδής, οἱ ἐπὶ ὀχημάτων. ἢ οἱ ἐπικείμενοι, ἢ οἱ ἐρριμμένοι. Περισσά, τὰ ἐν τῇ Ἀριθμητικῇ καλούμενα ἄζυγα. οἷον ἓν, τρία, κ(αὶ) τὰ ὅμοι-
α. Ἄρτια δὲ τὰ ζυγά, οἷον δύο, τέσσαρα. Περίσεμα, διάκριτα. Περισελίς, σκηνίον, δυσχερές. Περισκελή, βραχία φημινάλια. Περισκεπὲς, κε-
καλυμμένον. Περίσκεπτον ——— Περισκυθίσαντες, περιξύσαντες. Περισκυτίζοντος, ἐκδερματίζοντος. Περισπᾶν, ἐξαπατᾶν. κ(αὶ) τὸ μετὰ βίας
ἀφαιρεῖσθαι. Περισπώμενος, ἐμποδιζόμενος, ἐξαπατώμενος. Περισσαίνεται, τὸ περισσὸν θυμοῦσθαι κ(αὶ) ὀργίζεσθαι. Περισσοπωγῆσαι, περισσο-
λογῆσαι. Περιστάδον, περιεστῶτες. Περιστᾶσιν Δείναρχος. Τυρρηνικοῦ μετὰ ταῦτα τοῦ +Δάμωνος ἤδη περὶ ἀναγνωσθέντος. +male Suidas Δεί-
περιστᾶσιν ποιήσεσθε ὃ κ(αὶ) μαρτυρεῖν ἀξιοῦντος κ(αὶ) τὰ ἑξῆς. μήποτε τοιοῦτον ὅτι τὸ λεγόμενον ἐν κύκλῳ + περιεστηκ- μονη.
αὐτὸς κ(αὶ) οἱ παρόντες αὐτῶν κ(αὶ) μαρτυρεῖν ἠνάγκαζον ἵνα τὰς αὐτὰς ἐννοίας ἔχη τῶν περιεστώτων [struck] μὴ ἐποίησας. + περιεστη μ.
Ἔνιοι δὲ παραστᾶσιν ἀντὶ τοῦ περιστᾶσιν γράφουσι. Περισταῖ, Ἰσοκράτης ἐν τῷ περὶ τῆς ἀντιδόσεως θαυματοποιίας
τῶν ἐδῶν ἱερολύσαις, ὑπὸ δὲ τῶν ἀνοήτων περισταῖς γινομέναις. ἀντὶ τοῦ περὶ ἃς κύκλῳ ἵστανται οἱ θεώμενοι.

http://digital.slub-dresden.de/ppn346246385/64